## ΜΕΡΟΣ Ε΄.

Τοῦ παναγιωτάτου κυρίου Προκοπίου ἐξωσθέντος τοῦ οἰκουμενικοῦ θρόνου, καὶ τῆς ἐκλογῆς γενομένης ἐπὶ τὸν κύριον Νεόφυτον τὸν ς΄., γενομένης τῆς παραστάσεως ἐπὶ τοῦ ἐπιτρόπου τῆς βασιλείας, καὶ ἐπιβεβαιωθείσης τῆς ἐκλογῆς διὰ τῶν συνήθων καββαδίων, τῇ ά. Μαΐου τοῦ χιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ ἐννάτου σωτηρίου ἔτους ἐγένετο ἡ μετάθεσις τοῦ κυρίου Νεοφύτου ἀπὸ Μαρωνείας εἰς τὸν οἰκουμενικὸν θρόνον ἐν τῷ ναῷ τοῦ μεγαλομάρτυρος Γεωργίου, γενομένης τῆς ἀναῤῥήσεως ἐν τῷ πατριαρχείῳ πληθούσης ἐκκλησίας, ὡς νενόμισται.

Τὸν μὲν οὖν προχειρισθέντα νέον πατριάρχην ἔσαινον οἱ πλείους τῶν ἀρχιερέων καὶ ἀρχόντων, χρηστὰς τρέφοντες ἐλπίδας περὶ τῶν σφίσι διαφερόντων, περιώρισαν δὲ τὸν ἐξωσθέντα ἐν μιᾷ τῶν Κυανέων νήσῳ τοῦ Ἀντιγόνου, ἀπαιτοῦντες πλῆθος χρημάτων, ὡς δῆθεν τῶν κοινῶν ἀφελόμενον. Ἐπιλογισάμενοι γὰρ ὅσα εἰς χρείας τῆς μεγάλης ἐκκλησίας, καὶ ταῦτα ἐν τοιούτοις καιροῖς, καθ' οὓς τὸ βάρβαρον ἁδροτάτοις τοῖς δώροις ἐκμειλίσσεται, πάντα ἐκπληροῦν ἐκ τῶν ἰδίων ἠνάγκαζον, ἀπογυμνῶσαι ὧν εἶχε σκοποῦντες, δίκαιον ἡγούμενοι κατισχύσαι τοῦ ἀνδρός, πάντα ἐκ πάντων ποιοῦντες, καὶ περιελεῖν οὐ μόνα τὰ χρήματα, ἀλλὰ καὶ τὴν δόξαν ἣν εἶχε περὶ αὐτοῦ ὁ λαός, πλεονέκτην καὶ ἅρπαγα καὶ φθορέα τοῦ κοινοῦ διακηρύττοντες· ὑπέθραπτε γὰρ δέος αὐτοὺς τῆς ἐπανόδου, καὶ ἵνα μηκέτι φοβοῦνται, ταῦτα διεμηχανῶντο, παντοίως ἀδικοῦντες καὶ καταψευδόμενοι, ὥσπερ εἰώθασι τὰ πολλὰ οἱ δεινοὶ οὗτοι σοφισταί, καὶ λυμεῶνες ὑπουλότατοι. Ἀφεῖλον οὖν ὅσα ἐκ κληρονομίας καὶ ὅσα ἐν δυσὶ ταῖς ἐπαρχίαις αὐτῷ περιεγένετο μέχρι τῶν ἑβδομήκοντα πέντε ταλάντων, καὶ γυμνώσαντες εἰς τὴν ἐν τῷ ἁγίῳ Ὄρει Λαύραν ἐξέωσαν, ἐν αὐτῇ περιορίσαντες.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ